ΑΡΙΣΤΟΤΕΛΟΥΣ

προβλημάτων τὸ Α.

Ὅσα ἰατρικά.

ΔΙΑ τί αἱ μεγάλαι ὑπερβολαὶ νοσώδεις; ἢ ὅτι ὑπερβολὴν ἢ ἔλλειψιν ποιοῦσι; τοῦτο δὲ ἦν ἡ νόσος.

β Διὰ τί [δὲ] τὰς νόσους ὑγιάζουσι πολλάκις, ὅταν πολὺ ἐκστῇ τις· καὶ ἐνίων ἰατρῶν τοιαύτη ἡ τέχνη; ὑπερβολαῖς γὰρ ἰῶνται, ἢ οἴνου, ἢ ὕδατος, ἢ ἅλμης, ἢ σίτου, ἢ λιμοῦ. ἢ ὅτι ἐναντία ἀλλήλοις τὰ τὴν νόσον ποιοῦντα, εἰς τὸ μέσον ἄγει θάτερον ἑκατέρου;

γ Διὰ τί αἱ τῶν ὡρῶν μεταβολαί, καὶ πνευμάτα ἐπιτείνουσιν ἢ παύουσι, καὶ κρίνουσι τὰς νόσους καὶ ποιοῦσιν; ἢ ὅτι θερμαὶ καὶ ψυχραί εἰσιν, καὶ ὑγραὶ καὶ ξηραί. αἱ δὲ νόσοι, τούτων εἰσὶ ὑπερβολαί. ἡ δὲ ὑγίεια, ἰσότης. ἐὰν οὖν δι' ὑγρότητα καὶ ψύξιν, ἡ ἐναντία ὥρα παύει· ἐὰν ᾖ ἐναντία ὥρα ἔχηται, ἡ ὁμοία κρᾶσις ἐπιγινομένη, ἐπέτεινε καὶ ἀνεῖλε. διὰ ταῦτα δὲ καὶ νοσίζουσι τοὺς ὑγιαίνοντας, ὅτι μεταβάλλουσαι, λύουσι τὴν κρᾶσιν. ἅμα γὰρ ταῖς οἰκείαις ὥραις καὶ ἡλικίαις καὶ τόποις αὐξάνεται. διὸ δεῖ ἐν ταῖς μεταβολαῖς μάλιστα διακυβερνᾶν. ὃ δὲ [καθόλου] περὶ τῶν ὡρῶν εἴρηται, καὶ κατὰ μέρος τὸ αὐτὸ αἴτιον. αἱ γὰρ τῶν πνευμάτων μεταβολαί, καὶ τῶν ἡλικιῶν καὶ τόπων, ὧραι τινός εἰσι μεταβολαί. διὸ καὶ ταῦτα ἐπιτείνει καὶ παύει, καὶ κρίνει καὶ ποιεῖ, ὥσπερ αἱ ὧραι, καὶ ἐπιτολαὶ τῶν ἄστρων, ὥσπερ ὠρίων, καὶ ἀρκτοῦρος, καὶ πλειάς, καὶ κύων· ὥσπερ πνευμάτων, καὶ ὑδάτων, καὶ εὐδιῶν, καὶ χειμώνων, καὶ ἀλέας.

δ Διὰ τί ἐν ταῖς μεταβολαῖς τῶν ὡρῶν ἐμέτοις [οὐ] δεῖ χρῆσθαι; ἢ ἵνα μὴ γίνηται συντάραξις, διαφόρων γινομένων τῶν περιττωμάτων ἐν τῇ μεταβολῇ;

ε Διὰ τί καὶ οἱ κιβδηλιῶντες, καὶ οἱ ὑπὸ λιμοῦ, τοὺς πόδας οἰδοῦσιν; ἢ διὰ τὴν σύντηξιν ἀμφότεροι; συντήκονται δὲ οἱ μὲν διὰ λιμόν,

ARISTOTELIS

Problematum ſectiones duæ de quadraginta.

Theodoro Gaza interprete.

Eorum quæ ad medicinam pertinent, Sectio prima, cuius quæſtiones 59.

B CVR exuperantiæ nimiæ com-
mittendi morbi vim habeant?
An quia vel exceſſum, vel de-
fectum efficiant: qua quidem re
morbum conſiſtere certum eſt. 2 Cur
morbi ſæpe curari poſſunt, vbi quis abun
dè exceſſit? Equidem nonnulli medici
eam artem exercent, vt nonniſi per exceſ-
ſum agant vel vini, vel aquæ, vel ſalſugi-
nis, vel cibi, vel inediæ. An quoniam cau-
C ſæ, quæ morbos committunt aduerſæ in-
ter ſe ſunt? atque ita efficitur, vt genus du
ci per exceſſum alterius in medium poſſit.
3 Cur temporum flatuúmque mutatio-
nes morbos intendant, tollántve, iudicét,
vel committant? An quòd aut frigidæ, aut
calidæ, aut humidæ, aut ſiccæ ſunt, mor-
bóſque qualitatum huiuſmodi exceſſus
committit. Secunda etenim valetudo, me-
diocritas quædam eſt. Quòd ſi per humi-
D dam frigidámve materiam morbus con-
ſtiterit, tempus accedens contrarium tol-
lere illum poterit. Sed ſi minus contrariũ
ſubſecutum ſit, qui ſimilis ſtatus temporis
ſuperuenerit, intendet ſanè, atque interi-
met: quo etiam fit, vt qui bene valent, æ-
grotare tempore mutato incipiant: corpo-
ris enim proinde temperamentum ſolua-
tur neceſſe eſt: quippe quod non niſi tem-
porum, ætatum, locorúmque ſtatu idoneo
E aptum ſit augeri ſeruaríque. Quamobrem
cùm tempora euariant, ratio tunc valetu-
dinis habenda diligentiùs eſt. Idem au-
tem illud pro cauſa particulatim etiam
adeſt, quod in vniuerſum propoſui de
temporibus: mutationes etenim flatuum,
ætatum, atque locorum, pro temporis cu-
iuſdam mutatione accipi debent. Qua-
propter hæc etiam intẽdendi, vel tollen-
di, vel iudicandi, vel contrahendi morbũ
vim habent, quemadmodum tempora, &
ſyderum ortus, Orionis, Arcturi, Vergiliarum, Caniculæ, qui flatus, imbréſque exci-
tant. qui ſerenitates, frigora, teporéſve ſolent adferre. 4 Cur vomitus cum tem-
pora immutantur, citari maximè debeat? An ne conturbatio redundet, cùm variæ
excrementa materiæ inutilis ex mutandi ratione proueniant: vnde fit, vt cibum a-
lij parum concoquant, alij parum cupiant. 5 Quamobrem qui vel cibo vitioſo
veſcuntur, vel fame diutina laborant, pedibus intumeſcere ſoleant? an vtriſque,
per tabem, conſumptionémque illud accidat. Tabeſcunt enim & qui eſuriunt